eul_wid: ple-aa

*Φλέγων ὁ Τραλλιανός* · Phlegon of Tralles

# Testimonies

*Μαρτυρίαι*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

2b,257,T 1 SUID. s. Φλέγων Τραλλιανός· ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος (οἱ δὲ Ἀδριανοῦ φασίν)· ἱστορικός. ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ις — ἔστι δὲ μέχρι τῆς σκθ ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ· τὰ δὲ αὐτὰ ἐν βιβλίοιση · Ἔκφρασιν Σικελίας· Περὶ μακροβίων καὶ θαυμασίων· Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλίαγ · Περὶ τῶν ἐν Ῥώμηι τόπων καὶ ὧν ἐπικέκληνται ὀνομάτων· Ἐπιτομὴν Ὀλυμπιονικῶν ἐν βιβλίοισβ · καὶ ἄλλα.

2b,257,T 2 SCRIPT. HIST. AUG. X 20, 1: legisse me apud Aelium Maurum Phlegontis Hadriani libertum memini.

2b,257,T 3 PHOT. Bibl. 97: ἀνεγνώσθη Φλέγοντος Τραλλιανοῦ, ἀπελευθέρου τοῦ αὐτοκράτορος Ἀδριανοῦ, Ὀλυμπιονικῶν καὶ Χρον[ικ]ῶν Συναγωγή. (2) προσφωνεῖ τὸ σύνταγμα πρὸς Ἀλκιβιάδην τινά, ὃς εἷς ἦν τῶν εἰς τὴν φυλακὴν τεταγμένων τοῦ Ἀδριανοῦ. (3) ἄρχεται δὲ τῆς συναγωγῆς ἀπὸ τῆς πρώτης ὀλυμπιάδο ς , διότι τὰ πρότερ α , καθὼς καὶ οἱ ἄλλοι σχεδόν τι πάντες φασί ν , οὐκ ἔτυχεν ὑπό τινος ἀκριβοῦς καὶ ἀληθοῦς ἀναγραφῆ ς , ἀλλὰ ἄλλο τι ἄλλος τῶν ἐπιτυχόντων καὶ οὐ συμφώνως ἔγραψαν, ὅσοις καὶ γράψαι πεφιλοτίμηται. τὴν μὲν οὖν ἀρχὴν τοῦ συγγράμματος, ὥσπερ ἔφημεν, ἀπὸ τῆς πρώτης ὀλυμπιάδος ποιεῖται· κάτεισι δ έ , ὡς αὐτός φησ ι , μέχρι τῶν Ἀδριανοῦ χρόνω ν . (4) ἐμοὶ δὲ ἀνεγνώσθη μέχρι τῆς ροζ ὀλυμπιάδος (F 12) .......... μέχρι μὲν οὖν ταύτης μοι τῆς ὀλυμπιάδος ἐν λόγοις πέντε ἡ ἀνάγνωσις γέγονεν. (5) ἔστι δὲ τὴν φράσιν οὔτε λίαν χαμαιπετὴς οὔτε τὸν Ἀττικὸν ἐς τὸ ἀκριβὲς διασώζων χαρακτῆρα. ἄλλως τε δὴ καὶ ἡ περὶ τὰς ὀλυμπιάδας καὶ τὰ ἐν αὐταῖς τῶν ἀγωνισμάτων ὀνόματα καὶ πράξεις καὶ ἡ περὶ τοὺς χρησμοὺς ἄκαιρος φιλοπονία τε καὶ φιλοτιμία, εἰς κόρον ἀπάγουσα τὸν ἀκροατὴν καὶ μηδὲν ἄλλο τῶν ἐν τῶι λόγωι σχεδόν τι προκύπτειν συγχωροῦσα, ἀηδῆ τε τὸν λόγον δεικνύει καὶ χάριτος οὐδὲν ἔχειν παρατίθησι. χρησμοῖς δὲ παντοίοις ἐς ὑπερβολήν ἐστι κεχρημένος.

2b,257,T 5 SCRIPT. HIST. AUG. I 16, 1: famae celebris Hadrianus tam cupidus fuit, ut libros vitae suae scriptos a se libertis suis litteratis dederit iubens, ut eos suis nominibus publicarent. nam et Phlegontis libri Hadriani esse dicuntur.